τὸ θηρίον, ὃ καλοῦσι καλὸν καὶ ὡραῖον, τοσούτῳ δει-
νότερόν ἐστι τῶν φαλαγγίων, ὅσῳ ἐκεῖνα μὲν ἁψά-
μενα, τοῦτο δὲ οὐδ᾽ ἁπτόμενον, ἐάν τις αὐτὸ θεᾶται,
ἐνίησί τι καὶ πάνυ πρόσωθεν τοιοῦτον, ὥστε μαίνε-
σθαι ποιεῖν; ἴσως δὲ καὶ οἱ ἔρωτες τοξόται διὰ τοῦτο
καλοῦνται, ὅτι καὶ πρόσωθεν οἱ καλοὶ τιτρώσκουσιν.
Ἀλλὰ συμβουλεύω σοι, ὦ Ξενοφῶν, ὁπότ᾽ ἂν ἴδῃς
τινὰ καλὸν, φεύγειν προτροπάδην. σοὶ δὲ, ὦ Κριτό-
βουλε, συμβουλεύω ἀπενιαυτίσαι· μόλις γὰρ ἂν ἴσως
ἐν τοσούτῳ χρόνῳ τὸ δῆγμα ὑγιὴς γένοιο. Οὕτω 14
δὴ καὶ ἀφροδισιάζειν, τοὺς μὴ ἀσφαλῶς ἔχοντας
πρὸς ἀφροδίσια, ᾤετο χρῆναι πρὸς τοιαῦτα οἷα, μὴ
πάνυ μὲν δεομένου τοῦ σώματος, οὐκ ἂν προσδέξαιτο ἡ
ψυχὴ, δεομένου δὲ, οὐκ ἂν πράγματα παρέχοι.
Αὐτὸς δὲ πρὸς ταῦτα φανερὸς ἦν οὕτω παρεσκευα-
σμένος, ὥστε ῥᾷον ἀπέχεσθαι τῶν καλλίστων καὶ
ὡραιο-

*ἐάν τις*] Stob. et Beſſar. *ἐὰν δέ τις*, haud male.

*θεᾶται*] MS. 2 *θεάσεται* non poteſt ferri, niſi emendaueris *θεάσηται*.

*ἐνίησί τι*] Pro vitioſo *τε* reſtitui *τι* ex ed. Pariſ., Steph. ſec. et Stob. Sed MS. Vindob. 2 omittit *τε* ſeu *τι*, quod ſecutus eſt Erneſtus.

*πρόσωθεν*] Pro *πόῤῥωθεν*, vtroque loco, reuocaui lectionem Iunt., Stob. et marg. Steph., vt Xenophonteam. vid. Ind. Cyrop.

*ὁπότ᾽ ἂν*] Stob. contracte *ὁπόταν*.

*ἀπενιαυτίσαι*] Proprie exſilii annui poenam dare ſignificat. De forma vide Ruhnken ad Timaeum p. 39 ed. ſecund.

*μόλις*] Ibid. *μόγις*, minus Attice. Sed vid. Ind. Cyrop.

*ἂν ἴσως*] Deeſt *ἂν* in Iunt.

*ὑγιὴς γένοιο*] Stobaeus *ὑγιὲς γένοιτο*. Sed vulgata eſt elegantior. *Ern.*

§. 14. *ἀφροδισιάζειν*] Brodaeus putat hoc ſuperuacuum. Sed magis ineptit Leonclauius, qui cudit *ἀφοδιάζειν* verbulum inauditum, eique tribuit vim *ſecedendi*, vt reſpondeat praecedenti *ἀπενιαυτίσαι*.

*τοιαῦτα*] Ordo conſtructionis eſt: *ᾤετο χρῆναι τοὺς μὴ α. π. ἀ. ἔχοντας, ἀφροδισιάζειν πρὸς τοιαῦτα*: *putabat eos, qui ſe non poſſent a Venere abſtinere, eo genere Veneris vti oportere, quod non magnopere appeteret animus, niſi corpus vehementer poſtularet* etc. Pro *μὴ ἀσφ.* MS. 2 habet *καὶ ἀσφ.* *Ern.* Venerem vulgiuagam et meretriciam hic intelligi cenſebat Zeune; ſed totus locus de maſculo amore eſt, et ſequentia eodem redeunt. Videant igitur Socratis apologetae nuperi, quomodo ſe hoc loco explicent, vbi Socrates intemperantiam amoris maſculi damnat, amorem ipſum ex more populi ſequitur!

*οἷα*] Leonclauius vult corrigi *ἵνα*.

*δεομένου τοῦ σ.*] Edd. vett. poſt prius *δεομένου* interpolant *μὲν*, et ante poſterius, *μή*.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id375455116/73
gefördert von der Deutschen Forschungsgemeinschaft